## Περὶ Ἐπαινετικοῦ χαρακτῆρος.

Ὁ ἐπαινετικὸς χαρακτὴρ τὰ μὲν ἄλλα ὁ αὐτὸς ὢν τῷ ἐγκωμιαστικῷ, κατὰ τοσοῦτον ἐκείνου διαφέρει, καθ' ὅσον καὶ τὸν ἔπαινον τοῦ ἐγκωμίου διενηνοχέναι φασί τινες. ὁ μὲν γὰρ ἔπαινος, ἐξ ἑνός τινος τῶν κατορθωμάτων τοῦ ἐπαινουμένου λαμβάνεται, καὶ διὰ βραχέων ἐκφέρεται· τὸ δ' ἐγκώμιον, ἐκ πολλῶν, καὶ διὰ πλειόνων ἅμα, καὶ μετὰ τέχνης μᾶλλον κατασκευάζεται. διὸ καὶ πρὸς ἐργασίαν τούτου ἀποχρήσει τὰ εἰρημένα περὶ ἐκείνου. Ἄλλως τε μηδὲ τοῦ ἐγκωμιαστικοῦ χαρακτῆρος ἐξ ἁπάντων ἅμα λαμβάνεσθαι φιλοῦντος ὡς ἔφημεν, καὶ τοῖς ἐν ἐπιστολαῖς ἐγκωμίοις τῶν ἀρχαιοτέρων, τοιούτοις ἐξὸν ἐντυχεῖν σχεδὸν παρὰ πᾶσι.

## Περὶ Χαριστηρίου.

Ἡ χαριστήριος ἐπιστολή, χάριτός ἐστιν ἐξαγγελσις, αὐξητικὴ παρὰ τοῦ εὖ πεπονθότος, εἰς κόσμον ἀφορῶσα, καὶ ἔπαινον τοῦ εὖ δράσαντος. οὐδ' ἀπεικότως εἰς τὸ Ἐπιδεικτικὸν ἀναφέρεται γένος. εἰ δὲ καὶ προσηκόντως ὁμολογῆσαι τὴν χάριν ἀποδοῦναί ἐστι ταύτην, εἴη ἂν καὶ ἀπόδοσις χάριτος. Λαμβάνεται δὲ μάλιστα ἐκ τριῶν. ἐξ αὐτοῦ τοῦ πράγματος· καὶ πρὸς ὃν ἡ χάρις, καὶ ἀφ' οὗ. Τὸ μὲν οὖν πρᾶγμα καθ' ἑαυτὸ ἱκανῶς θαυμάσαντες, αὐξήσομεν ἐκ τῶν περιστατικῶν. ὅτι ἑκουσίως, καὶ μετὰ προθυμίας. τὸ γὰρ ἀκούσιον, ἀναιρετικόν ἐστι χάριτος· ὅτι ταχέως, καὶ εἰς καιρόν. ὡς γὰρ αἱ ταχεῖαι χάριτες γλυκερώτεραι λέγονται, οὕτω καὶ πανταχοῦ τὸ ἄκαιρον λυπηρόν. [illegible] τῆς αἰτήσεως ἀφθονεστέραν τὴν χάριν ἐδαψιλεύ-

λεύσατο. Ἐκ δὲ τοῦ ἀπενεγκόντος τὴν χάριν, εἰ ἤδη δ' οὐδὲν ὀφειλομένη ἦν· εἰ ὑπὲρ τὴν ἀξίαν, καὶ μηδὲν προσδοκῶντος. Ἐκ τοῦ πεποιηκότος δ' αὖ, παρ' οὗ καὶ ἄλλοτε πολλάκις, καὶ ᾧ μᾶλλον ὀφείλεται χάρις παρὰ τῶν εὖ πεπονθότων. εἰ παρ' οὗ μεγίστη χάρις καὶ προσηγορίας τυχεῖν μόνης, ἢ τῆς εὐνοίας. καὶ ᾧ μάλιστα χαίρομεν, καὶ μὴ χαριζομένῳ, καὶ μὴ γράφοντι, καὶ τὰ ἑξῆς. Πρὸς δὲ τοὺς ἀγαθῇ βουλῇ πειραθέντας ὠφελῆσαι, ἢ καὶ ὠφελήσαντας, ἰδιαίτερον ἀντιφιλοτιμησώμεθα, ἐκείνους τε ὑπερεπαινοῦντες τῆς ἀρίστης εἰσηγήσεως, καὶ ταύτην ἐκ ἐγχειρήσεως πρὸς τὴν διὰ χρημάτων, ἢ λόγων γινομένην χάριν αὔξοντες, μείζονα φάσκοντες ἐκ τῆς συμβουλῆς τῆς ἐκείνων κεκαρπῶσθαι τὴν λυσιτέλειαν. Εἰ δὲ μή τι τοιοῦτον συμβῇ, τὴν γοῦν γνώμην αὐτῶν ἐπαινέσομεν. Τέλος δ' ἀνθ' ὧν εἰλήφαμεν, λαμπρὰς τὰς ὑποσχέσεις ποιησόμεθα τοῖς εὐεργετήσασι, τοῖς ἴσοις, εἰ δυνατὸν καὶ μείζοσιν ἀμείψασθαι φάσκοντες· ἢ χρῆσθαι τοῖς ἡμετέροις ἐπιτρέψομεν, εἴ τι που χρήσιμον εἶναι δόξῃ. Εἰ δὲ τῆς ἀξίας ἐκείνων ὑποδεέστερα παρὰ πολὺ τὰ ἡμέτερα, ἀλλὰ γοῦν τῆς εὐεργεσίας ἀνέγγραπτον ἐς ἀεὶ μνημεῖον ἐγγυησόμεθα. Ἔστι δὲ καὶ πλαγίως τήν τε χάριν ἀποσεμνῦναι, μὴ ἀπομηνύοντα, καὶ μηδὲν ὑποσχόμενον ὑποσχέσθαι τὰ ἴσα. εἴ τις ἢ διὰ μέγεθος τῆς εὐεργεσίας παραιτοῖτο τοὺς ἐκείνης ἐπαίνους, ὡς ἀπορῶν δῆθεν λόγων, οἷς ἂν οἷα ἐστὶ παραστήσαιτο· ἢ διὰ τὴν ἄκραν πρὸς τὸν εὐεργετηκότα φιλίαν μὴ ἐνδέχεσθαι χάριτας ἀλλήλοις ὁμολογεῖν, ἢ ἀμοιβὰς ἐπαγγέλλεσθαι, ἢ διὰ τὴν ὑπερβολὴν τῆς ἐκείνου πρὸς ἅπαντας εὐεργετικῆς προαιρέσεως, κοινὴν εἶναι λέ-

 γων

γιον τὴν προθυμίαν, οὐδ' εἰς ἀμοιβὰς ἀποβλέπουσαν, ἐξ οἰκείας φύσεως εἰς τὸ εὐεργετεῖν ἀναγκαζομένου. διὸ οὐδὲ θαυμαστὸν εἰ καὶ πρὸς ἡμᾶς τὴν αὐτὴν ἐνεδείξατο. τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν.

## Ὑπόδειγμα.

Τίς οὕτω λιμὴν χειμαζομένοις ἐράσμιος ἐφάνη τοῖς πλέουσιν, ὡς ἐμοὶ τὰ παρὰ τῆς ἱερᾶς σου συνέσεως γράμματα; ἅπερ οὐχ ἧττον ἐμὲ ἦσαν, ὡς ἔσωσαν. μέγα γὰρ ἔμοιγε καὶ γράμματι ἐντυγχάνειν τοῖς παρὰ σοῦ· μέγιστον δὲ, τὸ καὶ λόγου εἶναί σοι τῶν ἐμῶν, καὶ μνήμης ἀξιοῦσθαι τοῖς περὶ σέ. πῶς γάρ; οὐ ἂν οἱ τοῦ Ἀλωέως ἀντιβλέψαι τὸ ὕψος ἠδεήθησαν; τὸ δὲ καὶ χαμαὶ κείμενον ἐμὲ τοσοῦτον ἆραι; καὶ βίον ἀπαλλάξαι εὐτελεστάτου, ἀξιώμασι τοῖς νῦν περὶ σὲ κοσμήσαντα, Θεῷ μόνῳ τῷ ὄντι οἰκεῖον, καὶ τοῖς κατὰ σὲ θείοις ἐκείνου συνημμένοις διὰ μιμήσεως, ὃς οὐ κατὰ τὴν ἀξίαν τῶν δεχομένων διανέμει τὰς χάριτας· ἀλλὰ λόγοι τῶν δωρημάτων ἀπαρτίζει τοὺς ἔχοντας· ποῦ γὰρ ἐγὼ τοσαύτης λειτουργίας ἐτύγχανον ἄξιος, ἣν κἂν ὄναρ φαντασθεὶς ἐδειλίασα; ἀλλὰ νῦν ὅτι ἐστὶ παρὰ σοῦ, καὶ στέργω καὶ ἀποδέχομαι. ἐλπίζω γάρ σε τὸν ταύτης νομέα γενόμενον, γενέσθαι καὶ νεμεθείσης προστάτην ἵνα μὴ μόνον εὐεργέτην τηλικαύτης ἀξίας, ἀλλὰ καὶ εἰσηγητήν σε γνοίην καὶ φύλακα.

## Ἀπάντησις πρὸς τὸν Χαριστήριον.

Τῷ χάριτας ἡμῖν ὡμολογηκότι δεξιῶς ἀπαντήσομεν, τὴν μὲν παρ' ἡμῶν εὐεργέτησιν συστέλλοντες ὅσον ἐστὶ μετὰ κόσμου, καὶ ἐξευτελίζοντες,

καὶ

[illegible] ὅπως ἐστὶν ὀφειλομένη ἀποδεικνῦντες τῷ εἰληφό-τι, ἢ δι' ἀρετὴν, ἢ φιλίαν, ἢ ἀμοιβὴν προαποκειμένης εὐεργεσίας· τὴν δὲ προθυμίαν τὴν ἡμετέραν [illegible] ἴση δύναμις, μείζονα ἐπιδείξομεν. καίπερ καὶ τὴν τύχην μεμψόμεθα, ὡς μὴ χορηγοῦσαν ἱκανῶς χαρίσασθαι, ὅσα βουλόμεθα. Εἰ δὲ καὶ μείζονος εἴη ἀξιώματος ὁ τὴν χάριν ὡμολογηκὼς, ἢ καὶ καθ' ἡμᾶς, καὶ χάριτας αὐθομολογήσομεν. ὡς τὴν χάριν ἀποδεδεγμένοι, καὶ μὴ ἐξουθενήσαντι τὸ παρ' ἡμῶν τοῦτο Ἥδιον παραπολαύειν λέγοντες τῶν ἐν τῷ ζῆν, ὅσα τοῖς φίλοις ὑπουργῆσαι ἔχομεν.

## Ὑπόδειγμα.

Εἰ τοῦ βασιλεύειν ἄμεινον φίλους κεκτῆσθαι, ὡς ὁ παλαιὸς βούλεται λόγος, μᾶλλον παρὰ σοῦ ληψόμενος, ἢ δώσων, εἰς ταύτην σε τὴν λειτουργίαν ἐκάλεσα. καὶ γὰρ σκῆπτρα, καὶ θρόνοι πλούτου μὲν εὐποροῦσι· μᾶλλον δ' οὐδὲ τούτου, εἴτις ὀρθῶς αὐτὰ διευθύνει· φίλων δὲ καὶ ταῦτα πιστῶν ἀποροῦσιν, [illegible] ἐν ταῖς ἀρχαῖς μᾶλλον ἐνδεεῖς, ἤπερ οἱ ἐν πενίᾳ τοῦ πλούτου. ἡ μὲν γὰρ βασιλεία, ὅσωπερ τῶν ἔξωθεν ζηλοῦται καλλωπισμάτων, τοσούτῳ [illegible] ἔνδον ὑποπλεύεται σκευωρημάτων· καὶ ὅσῳ [illegible] δοκεῖ τρυφᾶν προπόμπαις, καὶ διαδήμασι, τοσούτῳ μᾶλλον κακοδαιμονᾷ φθόνοις τε καὶ ἐπιβουλεύμασιν, ὧν οὐδεὶς ἂν σωθείη, κἂν τὰ μάλιστα [illegible] προνοητικῶς ἔχων τύχοι, μὴ φίλους τοὺς [illegible] αὐτὸν κεκλημένος. Ταύτην ἄρ' ἴσθι δεξάμενος τὴν ὑπουργίαν εὖ πεποιηκὼς μᾶλλον, ἢ πεπονθὼς, καὶ σώσας μᾶλλον ἤπερ σωθείς.

## Περὶ Συγχαριστικοῦ.

Συγχαριστικός ἐστι τύπος, δι' οὗ τὴν ἐπ' ἀλλοτρίοις ἀγαθοῖς ἐξαγγέλλομεν θυμηδίαν. Ὕλην δ' ἔλαχεν, ὅσα τῶν οὐκ ἐφ' ἡμῖν εὐκταῖα καὶ περισπούδαστα. τοιαῦτα γάρ εἰσι τὰ τ' ἐκτὸς ἀγαθὰ καὶ τὰ τοῦ σώματος, ὅσα φύσιν ἔσχηκε μειούμενά τε καὶ ἀπολύμενα, ἀνακτᾶσθαι πάλιν καὶ ἀναῤῥώννυσθαι· ἐν οἷς καὶ ἡ τῶν ἐναντίων ἀπαλλαγὴ συμπεριείληπται. Ἀρχὴν μὲν οὖν ἐκ τῆς ἡδονῆς προοιμιασώμεθα, ἣν προὐξένησεν ἡμῖν ἡ τοῦ φίλου εὐπραγία. τοσαύτην δῆθεν καὶ τηλικαύτην τῷ λόγῳ ἐμφαίνοντες, ἧς ἕνεκα ἔδει μᾶλλον τὸν φίλον ἡμῖν συνησθῆναι, ἤπερ ἡμᾶς ἐκείνῳ τῆς εὐπραγίας. Εἶτα τῶν ἀγαθῶν, ὧνπερ ἔτυχεν ἐπαινέσομεν. ἥκιστα μέντοι τοῦ κατ' ἀξίαν τετυχηκέναι ἐροῦμεν, ἢ ἀπὸ τῆς τοῦ τετυχηκότος, ὅτι πάλαι μὲν ἦν προσῆκον τὸ τοιοῦτον, κἂν αὐτὸς ἑκὼν εἶναι ἀπέφευγε, καὶ ὡς ἀρετῆς ἆθλον νενέμηται, οὐχ ὡς τύχης δῶρον κεκλήρωται· ἢ ἀπὸ τῆς τοῦ Θεοῦ προνοίας, ὅτι πάλαι τοῦτο ἐταμιεύετο, καὶ νῦν σοφῶς διάκειται. ἵνα ἐπ' αὐτῷ καὶ ἡ πρόνοια δοξασθῇ, καὶ τὴν προσήκουσαν ἐπιστασίαν, ἢ σωτηρίαν, καὶ διοίκησιν τὰ πράγματα λάβῃ. ἅμα τε αὐτοῦ ἐπαινοῦντες τὰς ἀρετάς, καθ' ἃς ἄξιος εἶναι δοκεῖ ὧν τετύχηκε. Δυνατὸν δὲ καὶ πλαγίως συνησθῆναι τῷ φίλῳ, καὶ ἐκ προκαταλήψεως τοιᾶς δε λέγοντας τί ποτ' ἂν ἄλλοι συνηδόμενοι εἴποιεν; οἱ μὲν δήπουθεν, ὡς ἐς ἄκρον εὐροεῖς τῶν ἔξω· οἱ δ' ὡς τὰ εἰκότα τετίμησαι, καὶ τὰ ὅμοια. ἡμεῖς δ' αὐταῖς συνήδεσθαι ταῖς ἀρχαῖς, καὶ τοῖς πράγμασιν, ἅπερ ἐτήρησας μᾶλλον, καὶ σέσωκας, ἢ παρ' αὐτῶν ἤρθης

καὶ

ϗ σέσωσαι. ἃ ϗ διαδιδράσκοντα κατέλαβον, ϗ ἀποσειόμενα ὑπερίχυσαν· τελευταῖον δὲ εὐδαιμονίας τὴν ἀπόλαυσιν εὐξόμεθα· ἢ μείζονα ϗ λαμπροτέραν προσαπιμαντευσόμεν· ἢ χάριτας τῷ κατάρξαντι καθομολογήσομεν, σοφῶς οὕτω τὰ περὶ ἡμῶν διῳκηκότι.

## Ὑπόδειγμα.

Πεφοίτηκε πρὸς ἡμᾶς ϗ περὶ τῶν γραμμάτων ἡ φήμη, ἥτις ἐπιτετράφθαι σοι τὸν σοφιστικὸν θρόνον ἐξήγγειλε. ϗ τί χρὴ λέγειν ὅσης ἡδονῆς τοὺς πάντας ἐνέπλησεν; ἀλλὰ ϗ ἀκοὴν, ϗ γλῶτταν τοῖς περὶ σὲ ἐνησχόλησε. μηδὲ γὰρ οὐκ ἄλλο τι ἐνταῦθ' ᾄδεσθαι, ἢ ὅτι νενίκηκεν ἤδη ἡ ἀρετὴ τὴν φθόνου κακίαν, ϗ ἡ μετριότης τὴν ὑπεροψίαν· ἀλλ' ἀνέθηκεν ἡ ψῆφος τὸν τοῦ κράτους πρύτανιν. οὐ γὰρ ἑκόντες ἂν μνησικακοίημεν, ἀλλὰ τὸ δέον ἐπαινέσαιμεν.

ἤμεσις. Συνήθειχ@ ἤρεθη, μηδὲ προτοῦ τεταγμένο@ τοῖς κάτω, ὅτι μὴ τῷ δοκεῖν. ἐγὼ δ' οἷα εἰκὸς διεχύθην μὲν ὅλῃ ψυχῇ ὑφ' ἡδονῆς τῷ ἀκούσματι, ϗ συνήσθην, σοὶ μέν; οὐδαμῶς. (οὐ γὰρ ἔθος ἐστιν τῷ μὴ ἡδομένῳ συνήδεσθαι:) ἀλλὰ ταῖς Μούσαις, αἳ ϗ λανθάνειν σπεύδοντα ἐξέφηναν, ϗ τὴν ἀξίαν ἀποσειόμενον ὑπερίχυσαν. τοὺς γὰρ γνησίους ἑαυτῶν τροφίμους αὐταί τε ἴσασι, ϗ τοῖς ἄλλοις καταφανεῖς εἶναι ἐθέλουσιν. Ἀλλ' ὦ μελίφθογγοι Μοῦσαι, ϗ Ἄπολλον μουσηγέτα, δοίητε ϗ λιπαρὰν τὴν προεδρίαν θιασώτῃ τῷ ὑμετέρῳ, ϗ ἐς μείζονας, ϗ λαμπροτέρας προαγάγοιτε τὰς ἀρχάς.

## Ἄλλο.

Ὅσον ἐγὼ ἀπὸ βαθείας ἤσθην τῆς γνώμης τὴν σὴν ὑγίειαν παρ' Ἑρμοδώρου πυθόμενος, οὐδ' αὐτόν σε ἀγνοεῖν ἡγοῦμαι. οἶσθα γὰρ ὡς σοῦ τῆς φιλίας ἐπιμελέστατ@ ὅλ@ ἐξήρτημαι, ϗ τοῦτο μόνον τῆς

 μετα

μετὰ σώματος παραπολαύω ζωῆς, ὅσον καὶ τῆς σῆς ὑγιείας· ἢ παρὼν, ἢ ἀπὼν τοῖς ἰνδάλμασιν· ἀλλὰ καὶ πᾶσα ἡ πόλις πλεῖστον ἄλλως τῇ ἀγγελίᾳ ὑφ' ἡδονῆς διεχύθησαν. πῶς γὰρ οὐκ ἔμελλον, οὗ ἡ μὲν ὑγιεία ἐστὶ πάντων σωτηρία, ὥσπερ ἡ νόσος οὐ τὸν τυχόντα τοῖς πᾶσιν ἐπηπείλει τὸν ὄλεθρον; οὐ δὲν ἐδοκοῦμεν διενηνοχέναι νεὼς ἐν καιρῷ χειμῶνος τὸν κυβερνήτην ἀποβαλούσης, κἂν μετεώρῳ πελάγει τρικυμίαις προσπαλαιούσης· σὺ γὰρ ἡμῖν καὶ οἰακοστρόφος, καὶ ἄγκυρα, ἐφ' οἷς ἐρείδεται τὰ ἡμέτερα. Ἀλλὰ χάρις ἔστω τῇ μακαρίᾳ προνοίᾳ, ἣ σε ἡμῖν ἐχαρίσατο, οὗπερ ἕνεκα καὶ μεγάλα ἐθύσαμεν τῷ Θεῷ τὰ χαριστήρια, ὃς τὸν τῆς σῆς ἀῤῥωστίας λύσας χειμῶνα, ἔαρ, καὶ ἄνθη πάλιν τῆς σῆς ὑγιείας ἰδεῖν κατηξίωσεν, ἣν χαρίσαιτο μὲν σοι ἐπιμήκιστον· σὲ δ' ἡμῖν, οἷς σοῦ δίχα, ἅπας ὁ βίος ἀβίωτος.

## Ἀπάντησις πρὸς τὸν Συγχαριστικόν.

Εἰ δ' ἀπαντῆσαι δέον πρὸς τὸν συγχαριστικὸν, ἐροῦμεν, ὅτι τὸ συνήδεσθαι ἡμῖν εὐημεροῦσι τοὺς φίλους, μέγιστον τῆς ἐκείνων πρὸς ἡμᾶς φιλίας ὑπάρχει τεκμήριον. δι' ἣν αὐτοῖς καὶ χάριτας ὁμολογήσομεν. Τὰ δὲ τῆς ὑπουργίας τῷ Θεῷ πάντα βραβευτῇ ἀναθήσομεν, τὰ ἡμέτερά πως ἐξευτελίζοντες, εἴπερ τῷ φίλῳ ἐπήνηται. τοὺς δὲ φίλους ἐροῦμεν μὴ λήσεσθαι, μηδὲ τὴν γνώμην μεταβαλοῦμεν, εἰ καὶ τὰ τῆς τύχης μεθήρμοσται.

## Ὑπόδειγμα.

Οἷς τὰ πάντα κοινὰ, κοινὰ δή που καὶ τὰ ἀποβαίνοντα. κοινὸν ἄρα καὶ τὸ τούτοις εὐροοῦσιν εὐφραί-

Ε.Σ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εὐφραίνεσθαι, ὡς καὶ δυσημεροῦσιν αὖθις συνάχθεσθαι. σὺ δ' ὅτι τοῦ πρώτου μετέχεις ἡμῖν, ἀκριβῶς τοῖς ἑπομένοις δηλοῖς. τοῖς δὲ τοιούτοις, τό, τε συνήδεσθαι ταυτὸν, καὶ ἑαυτοῖς ἥδεσθαι. ἀνθ' οὗ καὶ χάριτες ἀμοιβαδὸν ὀφειλόμεναι ἴσαι. Μᾶλλον δ' οὐδὲ μία χάρις, ἀλλ' εἴ τι τοιοῦτον, τῇ τὰ πάντα διοικούσῃ προνοίᾳ παρ' ἀμφοτέρων ὀφείλεται. παρ' ἧς φασὶ καὶ τὸν βριάοντα ῥέα χαλέπτεσθαι, καὶ τὴν ἀΐδηλον ἀέξεσθαι, ἢ κἀμὲ τὰ νῦν ἦρε τε ἀπερριμμένον οἷς ἔδοξε λόγοις, καὶ ἀμείνονος ἔδωκε πειρᾶσθαι τοῦ δαίμονος, δι' ἐμοῦ δὲ καὶ τοὺς φίλους, ὅσα τὸ κατ' ἐμέ. οὐ γὰρ ὥσπερ τὴν τύχην, οὕτω μου καὶ τὴν γνώμην μετέβαλεν. ἄλλ' ἄγε τῆς εὐπραγίας. φίλων γὰρ ἀμνημονῆσαι τῶν πάλαι, πάσης ἐμοὶ δυσπραγίας δυστυχέστερον κρίνεται.

## Ἄλλο.

Εἴπερ ἐμψύχοις ἐστὶ μᾶλλον τῶν ἄλλων τὸ ζῆν περισπούδαστον, ἡ ὑγιεία πάντως τῶν ἐν ἀνθρώποις ἐστὶν αἱρετώτερον. καὶ ταῦτα, ἡνίκα τοῦ ἐναντίου ἐν πείρᾳ γενώμεθα. ἥδιων γὰρ φασὶ μετὰ τὸ νέφος ὁ ἥλιος. Ἀλλ' οὐ τοσοῦτον ἐμὲ ἡ τῆς ὑγιείας ἥσεν ἀνάκλησις, νόσῳ καίπερ δεινῇ προσπαλαίοντα, ὡς τὸ γράμμασιν ἐντυχεῖν ὑμετέροις, ἃ παρ' αὐτὰ τῆς ἀρρωστίας ἀνενεγκόντι μοι δέδοται. καί μοι πρὸς τὸ πάθος γεγόνασιν οὐχ ἧττον σωτήρια, ἢ πρὸς τὸ κῆδος τῇ Ἑλένῃ τῆς Πολυδάμνας τὰ φάρμακα. συμπαθὲς γὰρ τὸ σῶμα ψυχῇ, καὶ τὰ πολλὰ τοῦ νοσεῖν τοῦτο ἐκείνης ἐξήρτηται. οἷόν τι κἀμοὶ συμβεβηκὸς τὰ νῦν φαίνεται. ἅμα γάρ τε ἀνέγνων τὴν ἐπιστολὴν, καὶ τὴν νόσον ᾐσθόμην ἀποσειόμενος. ὥστε τὴν ἀρ-

χὴν

χὴν τῆς ὑγιείας παρὰ μόνȣ Θεȣ̃ ἐγνωκὼς, τὸ ἐντελὲς παρὰ σȣ̃ μετὰ Θεὸν δικαίως εἰδέναι μοι δοκῶ. ὡς παρά τινος Ἀσκληπιȣ̃ μετ' Ἀπόλλωνα. Τὸ δὲ καὶ τὴν πόλιν χαριστήρια θῦσαι ἐμȣ̃ ἀνασφηλάσαντος, σοὶ μετὰ τὴν πόλιν τὰς αἰτίας ἀνατίθημι. μᾶλλον δὲ καὶ πρὸ τῆς πόλεως, ὡς προτεργῷ, καὶ τȣ̀ς ἄλλȣς ἐπὶ τȣ́τῳ παροτρύνοντι. διὸ σοὶ μᾶλλον τῶν ἄλλων ἀποκείσεται χάρις. τῇ δὲ πόλει τὸν ἐνόντα δεῖξαι πειράσομαι, ὡς ȣ̓ μάτην ἐμοὶ τῆς ὑγιείας συνήδεται.

## Περὶ Ψεκτικȣ̃.

Ο δὲ τοῦ ψεκτικὸς ἐκ διαμέτρȣ ἀντίκειται τῷ ἐγκωμιαστικῷ. Ἔστι δὲ ψόγος (ὡς Ἀριστοτέλης ὁρίζεται) τῶν μὲν ἐνδόξων ταπείνωσις, τῶν δ' ἀδόξων αὔξησις. Ὕλην δ' ὡς εἰκὸς ἔλαχε τὴν ἀντίστροφον τȣ̃ ἐγκωμιαστικȣ̃, οἷον, ἐπὶ μὲν ψυχῆς ἀφροσύνη, δειλία, ὀργιλότης, σκαιότης, καὶ τὰ παραπλήσια. ὡσαύτως καὶ ἐπὶ τȣ̃ σώματος, καὶ τῶν ἐκτός. κατὰ ταυτὰ δὲ τῇ ὕλῃ καὶ ἡ μέθοδος ἔσχηκεν, ἀντεστραμμένως δηλαδὴ τῷ ἐγκωμίῳ, ὡς περὶ τὰ ἐκείνȣ ἀντίστροφα καταγιγνομένη. καὶ τοῖς λοιποῖς, δ' ὅσα περὶ ἐκείνȣ εἴρηται, ἀντιστρόφως χρηστέον καὶ ἐπὶ τȣ́τȣ. Ψέγονται δὲ καὶ ζῶα, καὶ πόλεις, καὶ ποταμοί, καὶ λειμῶνες μειȣμένων τῶν αὐτοῖς ἀγαθῶν προσόντων, ὡς ἐπὶ τῶν ἐγκωμίων αὐξάνονται. Ἰδιαίτερον δ' ἀνθρώπῳ ὁ ψόγος οἰκεῖος, ὥσπερ καὶ τὸ ἐγκώμιον.

## Ὑπόδειγμα.

Ἀκόλασον ἔφη τις τὸν δεῖνα, ἀλλὰ καὶ θηριώδη τις ἄλλος, καὶ ἄφρονα, καὶ εἰς ἅπαν παμπόνηρον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ Ε.Υ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

...ρον. εἶτα οἱ ἀκούοντες ἐν δεινῷ ποιοῦνται, εἰ τοσούτων κακῶν εἰς ἓν συνεβάκχευσε θίασος. ἀλλ' ...εἴγε τὸν δεῖνα εἴδησαν. τοὐναντίον γὰρ ἂν ...ματαιὸν, εἰ τοιοῦτος ὢν ἐσωφρόνησε ποτέ, οὐ ... ἔχει φύσιν αἰθίοπα ἀποθέσθαι τὸ μέλαν, ἢ ...ρ τὸ καίειν, καὶ τὴν πονηρίαν τὸν δεῖνα. τοῖς μὲν γὰρ ἄλλοις, ὧν ἐπὶ μοχθηρίᾳ τρόπου μέγιστον ὄνομα τὰ μέρους ἡ κακία ὡμίλησεν, ὁ μὲν παροινίας τυχὸν, ὁ δ' ἀσεβείας ἥττων, ἕτερος δ' εἰς ἀσέλγειαν καταποπτώμενος. τῷ δεῖνι δὲ, φύσις ἐστὶν ἡ κακία, καὶ οὐδὲν δεῖ τῆς ἐκ συμβεβηκότων παρατηρήσεως. τὸ δὲ κάλλιστον τῶν ἐκείνου, ὅτι προγόνων ἔτυχεν ὁ γεννάδας, οἵων εἰκὸς τὸν τοιοῦτον γενόμενον. παρ' ὧν ἀγωγὴν εὗρε τῇ φύσει προσήκουσαν. ἐντεῦθεν αὐτῷ τις ἔνι καὶ τῆς κακίας παραίτησις. οὐδὲ γὰρ μεμπτέα πιθήκων τὰ ἔκγονα, εἰ καὶ τῶν τεκόντων εἰσὶν ἀπρεπέστερα.

## Ἄλλο.

Ἀνόσιόν τι χρῆμα ἡ λοιδορία καὶ πᾶσι, μάλιστα δὲ τοῖς ἀμηγέπως φιλοσοφίαν, καὶ ἤθη ἐπαγγελλομένοις χρηστά. Ἔγωγε μέντοι, εἴγε σιγήσας τὸ ἐναγὲς τοῦ Καλλίου τῶν τρόπων, τοὺς ἀκεραιοτέρους λυμήνασθαι οὐκ ἔμελλον, πάντως ἂν ἠσπασάμην τὴν σιωπήν. ἀλλὰ γὰρ ἡ κακία μὴ δημοσιευομένη διαδόσιμος γίγνεται, καὶ ταῦτα ἐπειδὰν καὶ ἰσχύος προσλάβηται συνεργοῦ. ἡνίκα καὶ ...θανώτερον τὸ κακὸν εἰς ἀπολαύσεις ἡγήσασθαι. ...τὸ ζηλοῦσθαι ἀεὶ τὰ τῶν ἐν ἐξουσίαις παρὰ τῶν ὑποδεεστέρων. οἷα δήπου Καλλίᾳ συνέδραμε. καὶ γὰρ ἔφυ καὶ τέθραπται παιδόθεν ἐν πονηρίᾳ, καὶ τάξεως οὐκ ἀπέτυχεν ὑπουργούσης τῇ φύσει. παντοδα-

τοδαπὴς μὲν αὐτοῦ, καὶ ἀλλόκοτος ἡ κακία, καὶ Ὕδρας ἐκείνης τῆς πολυκεφάλου πολυπλοκώτερος. οὐ γὰρ ὅλως δοκεῖ ἀνθρωπίνης μετέχειν φύσεως, ἀλλ' ὑπότινος ἐριννύος, καὶ τοιούτων ταρταρίων δαιμόνων ἀναπεμφθῆναι, ἐφ' ᾧ αἰσχοῦς τε, καὶ ἀκοσμίας ἀναπλήσει τὴν περίγειον λῆξιν· τραχὺς μὲν ἐστὶν εἰς ὀργὴν ἤπερ τις ἄλλος, ἀλλ' ἐλάφων δειλότερος. δυσειδὴς, ἀλλὰ καὶ θηλυδρίας. ἀνόητος, ἀλλὰ καὶ ἀλαζών. ἄπειρος ἐστὶ λόγων, ἔπειτα χελιδόνος τυγχάνει λαλίστερος. εὐεξίας μὲν ἀμοιρεῖ, τῆς κατὰ τὸ σῶμα, σφριγᾷ δὲ πρὸς τὰς ἡδονὰς, καὶ πέρας ἐστὶν ἀκολασίας. ἀηδὴς τῇ πόλει. τοῖς νόμοις ἀκάθεκτος. τοῖς φίλοις ἄπιστος. πρὸς μὲν τοὺς οἰκείους ὠμός, τοῖς δ' ἀλλοτρίοις ἐπίβουλος. οὐχ ἧττον ἄχθεται τοῖς τῶν ἄλλων ἀγαθοῖς, ἢ τοῖς ἰδίοις λυπηροῖς. σεμνύνεται μὲν πλεονεκτῶν· τὸ δ' ἐξαπατῆσαι τινὰ, σοφίαν οἴεται. τοῖς μὲν μέγα δυναμένοις, Ἶρος αὐτόχρημα· τοῖς δὲ ὑποδεεστέροις ὠμότερος καθέστηκε Κύκλωπος. ᾧ τοῦτο μόνον πρόσεστιν ἀγαθὸν, ὅτι οὐδ' αὐτῷ σπένδεται. οὐ γὰρ ἔχει φύσιν γαληνιᾷν τοῖς οὕτω ἐναντίοις ἐνειλημμένος κακίας εἴδεσιν. ὥσπερ οὐδὲ ναῦς ἐν μετεώρῳ πελάγει τρικυμίαις παλαίουσα. Ἀλλὰ ταῦτα σοι μικρὰ τῶν μεγάλων ἔσω τῆς ἀρετῆς τοῦ Καλλίου γνωρίσματα, ᾧπερ αὐτὸς ὁμιλήσας, οἶδα ὅτι θάτερον, ἢ Καλλίου φειδῶ, ἢ λόγων ἀπορίαν ἡμῖν ἐγκαλέσεις.

## Ἀπάντησις πρὸς τὸν Ψεκτικόν.

Εἰ δὲ πρὸς ἡμᾶς ὁ ψόγος, ἀντὶ μὲν ὕλης ὑπουργήσει τὰ γεγραμμένα. ἐνστάσεως δὲ πρὸς

αὐτὰ

ΙΩΑΝΝΙΝΑ 2006

ταῦτα εὐπορήσομεν, τὰ μὲν παρ' ἡμῶν αὐτῶν δηλοῦντες, ὡς ὐδὲν καινὸν πεπόνθαμεν ἐπὶ τοῖς εἰρημένοις· κὶ τοσῦτον ἀπεδέησε δυσφορῆσαι ἡμᾶς, ὥς οὐδὲ λόγυ ἂν ἠξιώσαμεν, εἰμὴ τὰ δευτερεῖα κακίας τὴν ἀρετὴν ἐνεγκεῖν ᾐσχύνθημεν, κὶ ὅτι φθάσασα ἡ πεῖρα, κὶ φήμη τὰ ἡμέτερα παρὰ πᾶσιν ἐμπέδωσε, κὶ τῶν ἐκείνυ λήρων, κἂν διαρραγείη, κἂν ὅ, τι πάθοι, τυγχάνυσι κρείττονα. Τὰ δ' ἀπὸ τῆς τῦ γράφοντ© πονηρίας, ὅτι μᾶλλον ἐπῄνεσεν, ἢ διέβαλεν. ὁ γὰρ παρὰ τῶν μοχθηρῶν ψόγ©, τῆς πρὸς ἐκείνυς ἀλλοτριότητ© ἔλεγχ©. τῦτο δὲ καλοκἀγαθίας τεκμήριον. κὶ ἅμα τινὰ τῶν ἐκείνῳ προσόντων, ἢ νομιζομένων ἐπείσαμεν. Εἶτα ὅτι κὶ μετὰ πολλῶν τῦτο πάσχομεν· πάντας γὰρ ἐκεῖν© κακῶς ἀγορεύει. ἢ ὅτι ἐπιῤῥεπὴς εἰς κακηγορίαν ἐκ φύσεως. ἢ ὅτι καλῶς λέγειν ὔπω μεμάθηκεν. ἢ ὅτι ἀφ' ἑαυτῦ τὰ τῶν ἄλλων κρίνει, κὶ τοῖς ἄλλοις τὰ ἴδια περιάπτει. ἢ ὅτι φθόνῳ ἢ μίσει τῷ πρὸς ἡμᾶς διδασκάλῳ κέχρηται. Τελευταῖον δὲ κὶ ἀπὸ τῶν πραγμάτων δεικνῦντες. ὡς ἀνοίκεια ἡμῖν ὅσα ἐκεῖν© διέβαλε, τῇ διαγωγῇ τῇ ἡμετέρᾳ, κὶ ταῖς ὁσημέραι πράξεσιν ἐναντιώτατα. Βραχεῖ δ' ἐπιλόγῳ προτρέψομεν κὶ εἰς αὖθις παραπλήσια διαληρεῖν, ὡς μὴ λήθην σχήσοι τῆς οἰκείας φύσεως. ἢ κὶ ἐλεήσαντες κατευξόμεθα, εἰ δυνατὸν ἀνανῆψαί ποτε τῆς τοιαύτης φρενοβλαβίας.

## Ὑπόδειγμα.

Οὐδὲν προτιμῶ συ ἡ κωμῳδία φησὶ, φορῶ γὰρ πριάμεν© φαρμακίτην δακτύλιον. ἐγὼ δέ σῦ τοσαῦτα φροντίζω κὶ σιγῶντ© κὶ λέγοντ©, ὅσα

καὶ μηδ' εἰ ὅλως ζῶσι γιγνομένων. ὑψηλοτέρα γὰρ τῶν σῶν λήρων ἐστὶν ἡ ἀλήθεια. καὶ οὐδ' ἂν μου τὸν λυττώδη ἐμπελάσαι ὀδόντα ἐξίκοιο, κἂν μάλα ὡς κωρυκαῖος φασὶ τοῖς ἐμοῖς ἐγχανῇς. ἀλλὰ σπαράξεις μὲν σεαυτὸν καὶ ἀνιάσεις εὖ οἶδα. τοιοῦτον γὰρ ὁ Φθόνος· ἐμὲ δὲ λαμπρότερον ἀποφανεῖς, ἀντίθετον σοῦ τε κα τῶν σῶν τρόπων οἷς γράφεις δηλῶν. ὃς γὰρ ἄχθεται τοῖς Ἀνύτου, ζηλοῖ τὰ Σωκράτους. ὡς εἴθε μου καὶ πλείω κατεφλυάρησας, ἤπουσε καὶ μᾶλλον ἂν εὐεργέτην ἐγίνωσκον.

## Ἄλλο.

Οὐ τοῦτ' ἐστὶν εὔροια γλώττης ὦ λῷστε Σωσία, λοιδορίας ὅτι πλείστας συμφορήσαντα κατασκεδάζειν ὅτου τις ἂν τύχοι καὶ βούλοιτο. οὔτε τοῖς ἀμείνοσιν ἀναιδῶς ἐπιτίθεσθαι, ἐπίσημον ἀπεργάζεται.. σὺ δ' ἀλλ' ὡς Θεῷ τῷ Φθόνῳ τὰς τῶν κρειττόνων βλασφημίας ἀποθῦσαι βεβούλησαι, ὡς ἂν ἐκ τούτου εἶναί τι καὶ δόξης, τῷ δῆθεν ἐνδοξοτέροις παραβάλλεσθαι. κᾆτα ὑπὸ εὐηθείας λέγειν μὲν οὐδὲν ὑγιές· πάντα δὲ κυκᾷς, καὶ μιγνύεις χρήματα· καὶ τοῦτο δὴ τὸ τῆς παροιμίας, κλώθειν πειρᾷ τὰ ἀσύγκλωστα. τίνα γὰρ καὶ φύσιν ἔχει, τὸν αὐτὸν ἅμα δειλὸν καὶ ὀργίλον εἶναι, εὐήθη τε καὶ πανοῦργον, καὶ ἥκιστα μὲν εὐεκτεῖν, σφριγᾷν δὲ πρὸς τὰς ἡδονάς; ὧν ἡ ἑτέρα θέσις, πάντως ἐστὶ τῆς ἑτέρας ἀπόφασις, ὃν γὰρ δειλὸν φαίης, τοῦτον αὐτὸν καὶ ὀργίλον εἶναι ἀπέφης· καὶ ὃν ἂν ὀργίλον, ὁμοίως δειλὸν ἀποφάσκεις. καὶ οὕτω τῇ ἑκατέρων θέσει, ἀναιροῦνται δηλονότι ἀμφότερα. εἶτα γυναιξὶν ἐπτοῆσθαι φῂς, τὸν οὐδὲ μίαν ἀξιώσαντα ἔχειν γυναῖκα· καὶ φίλοις ἀποκαλεῖς ἄπιστον,

[..]πιστον, τὸν πλὴν σοῦ, πρὸς ἅπαντας ἡρμοσμένον φιλίᾳ, καὶ τοῖς νόμοις τολμᾷς λέγειν ἀκάθεκτον, ὃς καὶ παρὰ σοῦ λοιδορούμενος, μήδ' ἀντειπεῖν ἠξίωσεν, ὅτι μὴ παραινέσων. τυγχάνεις μέντοι οὐδ' ὧν ὅπερ ἐφίεσαι. οὐ γὰρ ἔνεστι συκοφάντου δήγματος ἡ κωμῳδία φησίν. εἶναι δεῖ πρῶτον ἐν λόγοις δεινὸν, Σωσία βαρύστονε, εἶτα δοκεῖν. αἰδεῖσθαί τε τοὺς κρείττους, ὡς ἂν εἰ καὶ μὴ ἀνταιδοῦνται, (οὐ γὰρ τοιοῦτος εἶ σὺ) ἀλλὰ γοῦν μὴ τελέως μυσάττονται. παντὸς γὰρ τὸ κατηγορεῖν, μᾶλλον δ' οὐδὲ παντὸς, ἀλλ' ὧν ἡ φύσις τυφώνιος κατ' Αἰγυπτίους εἰπεῖν. σὺ δ' ἀλλὰ πεισθεὶς ἐμοὶ, μᾶλλον δὲ τῷ εἰπόντι σοφῷ, λάθε βιώσας. ἄξια γὰρ λήθης τὰ σά· εἰ δὲ βούλει, οἶδα δ' ὅτι βουλήσῃ, τὰ εἰκότα τῇ φύσει σου χαριζόμενος, μὴ παύσῃς ληρῶν παραπλήσια. οὕτω γὰρ οὔτ' ἐμὲ βλάψεις, καὶ τὴν σαυτοῦ ἀρετὴν ἀριδηλοτέραν καταστήσεις.

## Περὶ Τωθαστικοῦ καὶ Εἰρωνικοῦ.

Ο Τωθαστικὸς καὶ Εἰρωνικὸς χαρακτὴρ, οὐκ εἰσὶν ἀεὶ οἱ αὐτοὶ, ἀλλὰ διαφοροῦνται κατὰ τὸ τοῦ τέλους διαφοράν. ποτὲ μὲν γὰρ παιδιᾶς ἕνεκεν τωθασμοῖς τε καὶ εἰρωνείαις χρώμεθα, ὅτε καὶ φιλικὸς λέγοιτ' ἂν ὁ χαρακτήρ. ἐνίοτε δὲ καὶ σκωμμάτων καὶ ψόγου. διὸ καὶ εἰκότως εἰς τὸ ψεκτικὸν ἄν τις ἀναγάγοι. Δεῖται δὲ σοβαρότητος, καὶ σεμνοπρεπείας ὁ τύπος. ὅτε μὲν φιλικὸς, ἵνα μὴ εἰς τὸ χαμαίζηλον τῆς βωμολοχίας καθέλκηται. ἡνίκα δ' αὐτὸ τοῦτο σκωπτικὸς ᾖ, ὡς ἂν μὴ τὸ ἐνὸν τοῖς σκώμμασι κέντρον ἀπαμβλυνθὲν ἐξελέγχηται. Ἡ δὲ μέθοδος ἔσται κατὰ ταὐτὰ τῷ Ψεκτικῷ τύπῳ.



Ε.Υ.Δ. ΤΟΥ Π.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Ὑπόδειγμα.

Οὐ παντὸς πλεῖν εἰς Κόρινθον ἡ παροιμία φησί. πολλῷ δὲ μᾶλλον ἐς Ἑλικῶνα ἀνιέναι φαίης ἂν καὶ αὐτός. οὗ ἡ ὁδὸς κατὰ τὸν εἰπόντα μακρά τε καὶ ὄρθιος, ἱδρῶτά τε οὐκ ὀλίγον ἔχουσα τοῖς ὁδοιποροῦσι. διὸ οὐδὲ θαυμαστὸν, εἰ καὶ ἄμουσόν τι οἷς γεγράφαμεν ἐνυπῆρχε, μήπω τὰ Μουσῶν ὀργιάσαντες, κάτω που περὶ τὴν ὑπώρειαν ἔτι πλανώμεθα. καὶ ταῦτα παρὰ σοὶ τῇ κριτικωτάτῃ τῶν ἀκοῶν, ὃς ἤδη πρὸ πολλοῦ κατέλαβες τὴν τοῦ Ἑλικῶνος ἀκρόπολιν οὐ χρόνου μακροῦ δεηθεὶς, οὐ πόνων καὶ ἀσθμαίνων ὡς οἱ πολλοὶ, ἀλλ' εὐγενεῖ τινὶ καὶ γιγαντικῷ τῷ ὄντι κεχρημένος πηδήματι, καὶ σὲ αἱ Μοῦσαι οὐχ ὡς τρόφιμον αὐτῶν μόνον, ἀλλὰ καὶ ὡς σύμβουλον ἤδη ἐγνώκασι. καὶ ὅ, τι ἂν εἴποις, εὖ οἶδα, πάντως ἐπαινοῦσι κἀκεῖναι, οὐ δ' Ἀπόλλωνι ἀπαρέσκει. ὅτου χάριν, ἢ καὶ ἡμᾶς αὐταῖς σύστησον, αἱμύλῃ καὶ χάριτι τῶν σῶν λόγων πρὸς αὐτὰς χειραγωγούμενος. ἢ αὐτὰς ὡς ἡμᾶς ἐλθεῖν καταξίωσον. πάντως γάρ σοι καὶ Μοῦσαι καὶ μέλη συνέψονται.

## Ἀπάντησις πρὸς τὸν Εἰρωνικὸν χαρακτῆρα.

Ἀπαντητέον δὲ τοῖς εἰρωνευομένοις, τοῖς μὲν τέλος ποιουμένοις τὸν ψόγον, κατὰ ταὐτὰ τῷ ψεκτικῷ· τοῖς δὲ παιδιᾶς χάριν κομψευομένοις, ἀντικομψευσόμεθα καὶ αὐτοὶ, τὰ μὲν εἰρωνευόμενοι, τὰ δ' ἐξαίροντες τὰ ἐκείνων, καὶ ὅσα περὶ ἡμῶν εἰρήκασιν, ἐκείνοις αὐτοῖς εἴπως ἐνδέχεται περιάπτοντες.

Παρα-

## Παράδειγμα.

Ἤδειν καὶ πάλαι σε σοφιστὴν, καὶ τὴν γλῶτταν κεκτημένον νικῶσαν τὰ πράγματα, ὅτι δὲ καὶ σκώπτειν δεινὸς, τοῦτ' ἐπ' ἐμοὶ πεῖρα μεμάθηκα. καὶ ἔοικεν ἡ ἐν λόγοις τερθρεία, μετρία μὲν οὖσα, τῇ αἱμύλῃ φεύγειν τὸ δοκεῖν ὑπ' αὐτῆς τὴν ἀλήθειαν κλέπτεσθαι· ὑπερβαλοῦσα δὲ, λανθάνειν μὴ δύνασθαι, ἀλλ' ἀτεχνῶς μεταφέρειν εἰς σκώμματα τὸ τῆς εὐτραπελίας ἐπίχαρι. δι' ἣν ὡς εὐλόγου προφάσεως τῆς ἀμούσου φωνῆς δραξάμενος, τοσαῦτα ἡμῶν καταπέπαιχας. Ἀλλ' οὐ ταυτὸν ὦ γενναῖε πεῦσις, καὶ μέμψις, οὔτε λύσις, καὶ σκώμματα. ἐγὼ γὰρ ἐπυθόμην σου, ὅπως ἐκείνην ἐκδέχοιο τὴν φωνὴν, σὺ δέ με τῶν σῶν γραμμάτων ἀμουσίαν διαμέμφεσθαι ὑπετόπασας. κἀγὼ μὲν λύσιν ᾔτουν τῆς ἀπορίας, σὺ δὲ σκώπτειν ἐπιχειρεῖς γιγαντιαῖον ἀποκαλῶν τοῖς πηδήμασι. καὶ σὲ Μούσαις φυσῆσαι ἐκλιπαρεῖς, ὃς ἀντὶ πυθίου ταῖς Μούσαις τελεῖς, καὶ μέλη ἐμοὶ φὴς ἕπεσθαι, οἷς αὐτὸς ἀεὶ ἐντρυφᾷς. καί μοι δοκεῖς τὰ σὰ ἐξαγγεῖλαι βουλόμενος, εἶτα αἰδούμενος, προσωπείῳ τῶν ἐμῶν ἐπαίνων ἐκάλυψας. Ἀλλὰ γράφε καὶ σὺ εἴτε παιδιαῖς, εἴτ' οὖν ἐπαίνοις, δίδου ἡμῖν ἐντρυφᾷν.

## Τοῦ Συμβουλευτικοῦ γένους Προτρεπτικὸς, ἢ Συμβουλευτικὸς χαρακτήρ.

Ἐπειδὴ κατὰ τὸν Φιλόσοφον, ἡ προτροπὴ παράκλησίς ἐστιν ἐπὶ προαιρέσεις, ἢ λόγους, ἢ πράξεις, δῆλον, ὅτι Προτρεπτικὸς χαρακτὴρ, ὁ ἐπ' αὐτὰ ταῦτα παρακαλῶν. Ὅθεν καὶ ὕλη τούτου πράξεις εἰσὶ, καὶ λόγοι, καὶ προαιρέσεις. οὐχ' ἁπλῶς

μέντοι

μέντοι, ἀλλ' ἢ ὄντα ἢ δοκοῦντα, δίκαια, νόμιμα, συμφέροντα, ἔνδοξα, ϗ καλὰ, ἡδέα, ῥάδια πραχθῆναι. ἐνίοτε δὲ ϗ τὰ ὁμολογουμένως δυσχερῆ, δυνατά τε ϗ ἀναγκαῖα. Πρὸ πάντων δὲ ὁ προτρέπων, δύο ταυτὶ κεχρῆσθαι χρεὼν, εἴπερ ὅλως πιθανὸς εἶναι μέλλοι. τό, τε δοκεῖν εὔνους εἶναι πρὸς οὓς ἡ προτροπὴ, ϗ περὶ ἃ συμβουλεύει ἔμπειρος. ἀτελὲς γὰρ ἐς πειθὼ θἄτερον παρὰ θάτερον. ἡ μὲν οὖν ἐμπειρία σοφίᾳ τε συμπαρομαρτεῖ, ϗ ἡλικίᾳ, μάλιστα δ' ἀσκήσει τῇ περὶ ὧν ἡ σκέψις. ὅτου χάριν ϗ Σωκράτης σύμβουλον αἱρεῖσθαι διδάσκει ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον. Εἰ δ' ὁ παρακαλῶν ἀμοιρεῖ τῶν εἰρημένων, ὀῤῥωδεῖ δὲ μὴ τὴν παράκλησιν ἀναχαιτίσῃ ὁ προτρεπόμενος, ἐν τῇ εὐνοίᾳ τὸ πᾶν θεραπεύειν πειράσθω. ἣν ϗ μὴ προσοῦσαν ἐπισπᾶσεται παρ' αὐτὴν πρώτην παρείσδυσιν, εἰς ἔρωτα τὸν πρὸς ἐκεῖνον τὰς αἰτίας ἀνάγων, ϗ ὡς οἰκειότητι λέγων, ϗ φιλοστοργίᾳ εἰς τὸ γράφειν ἐνάγεται. τό, τε τὰ ἐκείνου περὶ πολλοῦ ποιεῖσθαι, οὐκ ἐᾷ, σιγᾶν ἐν τοσαύτῃ τῶν πραγμάτων ἢ κινδύνων ἀκμῇ. εὐεργεσιῶν τε ἀναμνήσει τῶν πρὸς ἀλλήλους. ἢ τῶν ἀνέκαθεν ϗ ἐπὶ τῶν προγόνων, ἢ λόγων, ἢ ὁμιλίας, ϗ τῶν ὁμοίων. Εἶτα ἐποίσει κεφαλαιωδῶς διηγούμενος ἐφ' ἃ ϗ προτρέπειν ἔγνωκε, δεικνύων ἕκαστον, δίκαιον, νόμιμον, συμφέρον, ϗ τὰ ἑξῆς, ὡς ἀνωτέρω δεδήλωται. ἢ ἀπὸ τοῦ πράγματος, ἐφ' ὃ ἡ προτροπή. ἢ ἀπὸ τῶν προσώπων. ἢ ἀπὸ τοῦ μέλλοντος, οἷον ἀπὸ ἐλπίδος, γνώμης, φίλων, ἢ τῶν ἐναντίων, ϗ τῶν ἄλλων περιστατικῶν. Ταῦτα ϗ ἐμπεδώσωμεν ἐκ τοῦ ὁμοίου, ϗ ἐναντίου, ἐκ παραδείγματος, ἐκ τῶν κεκριμένων, ϗ ἐνδόξων ἢ τοῖς πᾶσιν, ἢ τοῖς ἐνδοξοτέροις· οὐχ ἥκιστα δ' οἷς γράφομεν. Πα-